ΟΡ. ὡς μή γ᾽ ἔχῃς σύ, τήνδ᾽ ἐπισφάξας πυρί.
ΜΕ. κτεῖν᾽· ὡς κτανών γε τῶνδέ μοι δώσεις δίκην.
ΟΡ. ἔσται τάδ᾽. ΜΕ. ἆ ἆ, μηδαμῶς δράσῃς τάδε.
ΟΡ. σίγα νυν, ἀνέχου δ᾽ ἐνδίκως πράσσων κακῶς.
ΜΕ. ἦ γὰρ δίκαιον ζῆν σε; ΟΡ. καὶ κρατεῖν γε γῆς.
ΜΕ. ποίας; ΟΡ. ἐν Ἄργει τῷδε τῷ Πελασγικῷ.
ΜΕ. εὖ γοῦν θίγοις ἂν χερνίβων ΟΡ. τί δὴ γὰρ οὔ;
ΜΕ. καὶ σφάγια πρὸ δορὸς καταβάλοις. ΟΡ. σὺ δ᾽ ἂν καλῶς;
ΜΕ. ἁγνὸς γάρ εἰμι χεῖρας. ΟΡ. ἀλλ᾽ οὐ τὰς φρένας.
ΜΕ. τίς δ᾽ ἂν προσείποι σ᾽; ΟΡ. ὅστις ἐστὶ φιλοπάτωρ.
ΜΕ. ὅστις δὲ τιμᾷ μητέρ᾽; ΟΡ. εὐδαίμων ἔφυ.
ΜΕ. οὔκουν σύ γ᾽. ΟΡ. οὐ γὰρ ἁνδάνουσιν αἱ κακαί.
ΜΕ. ἄπαιρε θυγατρὸς φάσγανον. ΟΡ. ψευδὴς ἔφυς.
ΜΕ. ἀλλὰ κτενεῖς μου θυγατέρ᾽; ΟΡ. οὐ ψευδὴς ἔτ᾽ εἶ.
ΜΕ. οἴμοι, τί δράσω; ΟΡ. πεῖθ᾽ ἐς Ἀργείους μολὼν
ΜΕ. πειθὼ τίν᾽; ΟΡ. ἡμᾶς μὴ θανεῖν αἰτοῦ πόλιν.
ΜΕ. ἢ παῖδά μου φονεύσεθ᾽; ΟΡ. ὧδ᾽ ἔχει τάδε.
ΜΕ. ὦ τλῆμον Ἑλένη, ΟΡ. τἀμὰ δ᾽ οὐχὶ τλήμονα;
ΜΕ. σοὶ σφάγιον ἐκόμισ᾽ ἐκ Φρυγῶν, ΟΡ. εἰ γὰρ τόδ᾽ ἦν.
ΜΕ. πόνους πονήσας μυρίους. ΟΡ. πλήν γ᾽ εἰς ἐμέ.
ΜΕ. πέπονθα δεινά. ΟΡ. τότε γὰρ ἦσθ᾽ ἀνωφελής.
ΜΕ. ἔχεις με. ΟΡ. σαυτὸν σύ γ᾽ ἔλαβες κακὸς γεγώς.
ἀλλ᾽ εἶ᾽, ὕφαπτε δώματ᾽, Ἠλέκτρα, τάδε·
σύ τ᾽, ὦ φίλων μοι τῶν ἐμῶν σαφέστατε,
Πυλάδη, κάταιθε γεῖσα τειχέων τάδε.
ΜΕ. ὦ γαῖα Δαναῶν ἱππίου τ᾽ Ἄργους κτίται,
οὐκ εἶ᾽ ἐνόπλῳ ποδὶ βοηδρομήσετε;
πᾶσαν γὰρ ὑμῶν ὅδε βιάζεται πόλιν
ζῆν, αἷμα μητρὸς μυσαρὸν ἐξειργασμένος.

---

1596. *χερί C* 1597. *τήνδε C* 1598. *δράσεις* AB *πράσσεις* F *δράσῃς* ceteri. 1600. *γε* F *τε* ceteri. 1603. *πρός C* 1605. *δ᾽* om. *C* 1611. *θανεῖν* E *κτανεῖν* ceteri. 1612. *μου* om. *C* *ὧδε γὰρ ἔχει τάδε C* 1620. *τειχέων τάδε γρ. γεῖσα τεκτόνων πόνον* A *τεκτόνων* pro *τειχέων* c *τειχέων τάδε* ceteri. 1622. *οὐκ εἶ᾽*] Musgravius, *οὐχί* libri. 1623. *ὑμῶν*] Brunckius, *ἡμῶν* libri.